# 174. THE AGONY IN GETHSEMANE (Mk-Lk Identicals)

| Mark 14:32-42 | Luke 22:39-46 |
|---|---|
| Καὶ ἔρχονται | Καὶ ἐξελθὼν ἐπορεύθη |
| εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανί, | κατὰ τὸ ἔθος εἰς τὸ Ὄρος |
| | τῶν Ἐλαιῶν· |
| | ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταί. |
| | 40 γενόμενος δὲ ἐπὶ τοῦ τόπου |
| καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ, | εἶπεν αὐτοῖς, |
| Καθίσατε ὧδε | |
| ἕως | |
| προσεύξωμαι. | Προσεύχεσθε μὴ εἰσελθεῖν |
| | εἰς πειρασμόν. |
| 33 καὶ παραλαμβάνει | |
| τὸν Πέτρον | |
| καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην μετ αὐτοῦ, | |
| καὶ ἤρξατο ἐκθαμβεῖσθαι | |
| καὶ ἀδημονεῖν, | |
| 34 καὶ λέγει αὐτοῖς, | |
| Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· | |
| μείνατε ὧδε καὶ γρηγορεῖτε. | |
| 35 καὶ προελθὼν | 41 καὶ αὐτὸς ἀπεσπάσθη |
| μικρὸν | ἀπ αὐτῶν ὡσεὶ λίθου βολήν, |
| ἔπιπτεν ἐπὶ τῆς γῆς, | καὶ θεὶς τὰ γόνατα |
| καὶ προσηύχετο ἵνα | προσηύχετο |
| εἰ δυνατόν ἐστιν | |
| παρέλθῃ ἀπ αὐτοῦ ἡ ὥρα, | |
| 36 καὶ ἔλεγεν, Αββα ὁ πατήρ, | 42 λέγων, Πάτερ, |
| πάντα δυνατά σοι· | |
| | εἰ βούλει |
| παρένεγκε | παρένεγκε |
| τὸ ποτήριον τοῦτο ἀπ ἐμοῦ· | τοῦτο τὸ ποτήριον ἀπ ἐμοῦ· |
| ἀλλ οὐ τί ἐγὼ θέλω | πλὴν μὴ τὸ θέλημά μου |
| ἀλλὰ τί σύ. | ἀλλὰ τὸ σὸν γινέσθω. |

| | |
|---|---|
| | 43 ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ οὐρανοῦ ἐνισχύων αὐτόν. 44 καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο· καὶ ἐγένετο ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν. |
| | 45 καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς |
| 37 καὶ ἔρχεται | ἐλθὼν |
| | πρὸς τοὺς μαθητὰς |
| καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, | εὗρεν κοιμωμένους αὐτοὺς |
| | ἀπὸ τῆς λύπης, |
| καὶ λέγει τῷ Πέτρῳ, | 46 καὶ εἶπεν αὐτοῖς, |
| Σίμων, καθεύδεις | Τί καθεύδετε |
| οὐκ ἴσχυσας | |
| μίαν ὥραν γρηγορῆσαι | |
| 38 γρηγορεῖτε καὶ προσεύχεσθε, | ἀναστάντες προσεύχεσθε, |
| ἵνα μὴ ἔλθητε εἰς πειρασμόν· | ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. |
| τὸ μὲν πνεῦμα πρόθυμον | |
| ἡ δὲ σὰρξ ἀσθενής. | |
| 39 καὶ πάλιν ἀπελθὼν | |
| προσηύξατο | |
| τὸν αὐτὸν λόγον εἰπών. | |
| 40 καὶ πάλιν ἐλθὼν | |
| εὗρεν αὐτοὺς καθεύδοντας, | |
| ἦσαν γὰρ αὐτῶν | |
| οἱ ὀφθαλμοὶ καταβαρυνόμενοι, | |
| καὶ οὐκ ᾔδεισαν τί ἀποκριθῶσιν αὐτῷ. | |
| 41 καὶ ἔρχεται τὸ τρίτον | |
| καὶ λέγει αὐτοῖς, | |
| Καθεύδετε τὸ λοιπὸν | |
| καὶ ἀναπαύεσθε | |
| ἀπέχει· ἦλθεν ἡ ὥρα, | |
| ἰδοὺ παραδίδοται | |

*ὁ υἱὸς τοῦ ἀνθρώπου*

*εἰς τὰς χεῖρας*
*τῶν ἁμαρτωλῶν.*
*42 ἐγείρεσθε ἄγωμεν·*
*ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν.*

36 matches out of 284 words = 12%